TEZAUR LITURGIC

16 OCTOMBRIE

NIKODIMOS AERAKIS

# SLUJBA SF.MUCENIC IOAN DE LA TOURKOLEKA ARCADIEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 16 ΟΚΤΩΒΡΙΟΣ

# ΙΩΑΝΝΗΣ ΤΟΥΡΚΟΛΕΚΑΣ

# ΝΕΟΜΑΡΤΥΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Ἀρχιμανδρίτου Νικοδήμου Ἀεράκη**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ’, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Ἰωάννην τὸν νέον λαμπρῶς τιμήσωμεν, τὸν γόνον Τουρκολέκα, κλέος Μονεμβασίας· πίστιν γὰρ Θεανθρώπου πρὸ δυσσεβῶν, μετὰ τόλμης ἐκήρυξε· διὸ ἐτύθη ὡς πρόβατον ὑπ’ αὐτῶν, δοξασθεὶς ὡς Μάρτυς ἔνθεος.

Τοῦ Τουρκολέκα τὸ βλάστημα και καλλώπισμα, ὑμνήσωμεν ἐμφρόνως, ἐν ᾠδαῖς ἐγκωμίων· λόγῳ καὶ θυσίᾳ τὸν Ἰησοῦν, ὡς Θεὸν ὡμολόγησε, καὶ καθυπέμεινε πόθῳ σφαγιασμόν, μιμηθεὶς τὸν θεῖον Πρόδρομον.

Τοῦ Ἰωάννου τὴν μνήμην τοῦ Νεομάρτυρος, δοξάσωμεν ἐν πίστει, ἑορτάζοντες ὕμνοις· ἐσφαγιάσθη

γὰρ οὗτος ὑπὲρ Χριστοῦ, καὶ ἐστέφθης ἐν χάριτι, ὡς ἀδελφὸς Πρωτοτόκων ἐν οὐρανοῖς, αἰωνίως ἀγαλλόμενος

Ἐν εὐφροσύνῃ ὑμνήσωμεν Παιδομάρτυρα, νεότητος προστάτην, Τουρκολέκα τὴν δόξαν, νέων ἀθλουμένων τὸν ὁδηγόν, καὶ πιστῶν ἀντιλήπτορα, ὁμολογούντων πανθαύμαστον ἀρωγόν, καὶ Μαρτύρων θεῖον πρότυπον.

*Δόξα. Ἦχος β΄.*

Δεῦτε φιλομάρτυρες, ἐν ἐγκωμίων ἄνθεσι, τὸν τοῦ Κυρίου καλλίνικον παιδομάρτυρα, Ἰωάννην τὸν ἐκ Τουρκολέκα, εὐφραινόμενοι εὐφημήσωμεν. Οὗτος γὰρ τὴν τῶν Ἀγαρηνῶν ἀθέων ἄθεσμον συμβουλὴν ἀποῤῥίψας, εὐθαρσῶς τὴν ὀρθόδοξον πίστιν ὡμολόγησεν· ὅθεν γενναιοφρόνως ἐν Μονεμβασίᾳ σφαγιασθείς, τὸν Αὐτὸν ἀντιδοξάσαντα, Χριστὸν τὸν Θεάνθρωπον ἐδόξασεν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην Σου

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε πάντες πιστοί, τὸν Μάρτυρα Κυρίου, παιδίον Ἰωάννην, τιμήσωμεν ἐνθέως, τυθέντα ὥσπερ σφάγιον.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Παῖδα τὸν θαυμαστόν, καὶ κλέος Τουρκολέκα, τὸν Ἰωάννην ὕμνοις, καὶ ἐγκωμίων λόγοις, λαμπρῶς ἀνευφημήσωμεν.

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Δεῦτε προσκυνηταί, τὸ ἄνθος τῶν Μαρτύρων, παιδίον Ἰωάννην, ᾠδαῖς καὶ εὐφημίαις, ἐμφρόνως ἀνυμνήσωμεν.

*Δόξα. Τριαδικόν*

Δόξα Σοι παντουργέ, Τριὰς ὑπεραγία, ἡ Τουρκολέκα γόνον, ἐν τῇ ὁμολογίᾳ, πανθαυμαστῶς στηρίξασα.

*Καὶ νῦν. Θεοτοκίον.*

Πάναγνε Μαριάμ, μεσίτρια τοῦ κόσμου, τοὺς θεῖον Ἰωάννην, τιμῶντας εὐφροσύνως, περίσκεπε καὶ φύλαττε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Μέγαν Μάρτυρα, τῆς Ἀρκαδίας, εὐφημήσωμεν, τὸν Ἰωάννην, ἀνυμνοῦντες αὐτοῦ θείαν ἄθλησιν· καταβαλὼν γὰρ ἀπίστων φρυάγματα, ὁμολογίᾳ

Χριστοῦ στέφος εἴληφεν· ὅθεν Κύριε, λιταῖς σοῦ ἐνδόξου Μάρτυρος, χαρίτωσον πιστοὺς τοὺς προσκυνοῦντάς σε.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΕΝ ΤΩ͂Ι ΜΕΓΑΛΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Προσόμοια, δευτεροῦντες αὐτά. Ἦχος δ’. Ἔδωκας σημείωσιν.

Μάρτυρα καλλίνικον, Χριστοῦ καὶ γόνον τὸν ἔνδοξον, Τουρκολέκα ἐν ᾄσμασιν, Μαρτύρων ἀγλάϊσμα, Ἰωάννην θεῖον, τὸν τῶν Ὀρθοδόξων, στῦλον τῆς πίστεως στεῤῥόν, νεανιῶν τε φρουρὸν πανάριστον, Μυστρᾶ τὸ ἐγκαλλώπισμα, καὶ Ἐκκλησίας τὸ καύχημα, τὸν στεῤῥὸν παιδομάρτυρα, εὐφημήσωμεν ἅπαντες.

Μάρτυρα τῆς πίστεως, τέκνον ἡρώων καὶ καύχημα, εὐφροσύνως γεραίρομεν, λαμπρῶς ταπεινώσαντα, τὴν βουλὴν ἀθέων, εὐθαρσῶς τυθέντα, ὑπὲρ Χριστοῦ τοῦ Λυτρωτοῦ, ὡς παιδομάρτυρα γενναιόφρονα· διὸ ὡς Νεομάρτυρα, Χριστὸς ἀξίως ἐτίμησεν, Ἰωάννην τὸν ἔνθεον, οὐρανίοις ἐν δώμασιν.

Ὕμνοις ἐπαινέσωμεν, τὸν νεανίαν τὸν ἔνδοξον, τῶν Μαρτύρων τὸ πρότυπον, Μυστρᾶ θεῖον καύχημα, καὶ πιστῶν τὸ κλέος, τῶν Νεομαρτύρων, τὸν ἀκραιφνῆ ὑπογραμμόν, καὶ μαρτυρίας λαμπρὸν ὑπόδειγμα, νεότητος τὸ στήριγμα, καὶ Ὀρθοδόξων τὸ ἔρεισμα, τῶν πιστῶν καταφύγιον, Ἰωάννην τὸν ἔνθεον.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, οἱ τῆς Ἀρκαδίας καὶ Μονεμβασίας πιστοὶ συνελθόντες, ἐν ὕμνοις ἐνθεαστικοῖς, τὴν τοῦ Νεομάρτυρος Ἰωάννου τοῦ ἐκ Τουρκολέκα, μαρτυρικὴν τελείωσιν, πανηγυρικῶς ἑορτάζοντες βοῶμεν πρὸς αὐτόν· Χαίροις, ὁ τῶν νεανιῶν εὐκλεὴς ἐκπρόσωπος, καὶ τῆς πίστεως θαυμαστὸν ἐγκαλλώπισμα· χαίροις, τῆς Χριστοῦ ὁμολογίας ἀληθὴς ὑπογραμμός, καὶ τῶν παιδομαρτύρων ὁ ὁδηγός. Μάρτυς τοῦ Χριστοῦ, Ἰωάννη πανεύφημε, Αὐτὸν ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾿ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ νάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ

γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Φαιδρὰν πανήγυριν, καὶ ἑορτὴν πνευματικήν, ἐπὶ τῇ μνήμῃ τοῦ Νεομάρτυρος Ἰωάννου, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, εὐφροσύνως ἐπιτελεῖ σήμερον. Οὗτος γὰρ ἐκ τῆς κώμης Τουρκολέκα ὁρμώμενος, ἐν τῷ Μυστρᾷ, διὰ τὴν τοῦ Χριστοῦ πίστιν καὶ ὁμολογίαν, τὴν τιμίαν αὐτοῦ κεφαλὴν ἀνηλεῶς ὑπὸ τῶν Ἀγαρηνῶν ἀπετμήθη· ὅθεν στεφηφορῶν, ἐν τοῖς οὐρανίοις δώμασι κατέπαυσεν, ἐν σαββατισμῷ παναληθεῖ, αἰωνίως τοῖς Πρωτοτόκοις Μάρτυσιν συναγαλλόμενος.

*Ἦχος β΄.*

Δεῦτε φιλομάρτυρες πάντες, πνευματικῶς εὐφρανθρῶμεν, ὑπὸ τοῦ νεανίου Μάρτυρος Ἰωάννου κεκλημένοι, ἐν τῇ πανηγυρικῇ ἐπετείῳ τῆς μνήμης αὐτοῦ. Οὗτος γὰρ τοὺς ἀπίστους Ἀγαρηνοὺς οὐ

πτήξας, οὐδὲ τὴν νεότητα λογισάμενος, ἀλλὰ τὸν Χριστὸν ἐν παῤῥησίᾳ ὁμολογήσας, ἐν Μυστρᾷ ὡς σφάγιον ὑπὲρ Χριστοῦ ἐτύθη. Αὐτοῦ πρεσβείαις, ἐν ταῇ πίστει ἀκλινεῖς ἡμᾶς Κύριε φύλαττε, ὡς Θεὸς πολυέλεος.

*Ἦχος γ΄.*

Ἀγαλλιῶντες ἐν πνεύματι ἀδελφοί, δεῦτε σεπτῶς τὴν τοῦ παιδομάρτυρος Ἰωάννου μνήμην τιμήσωμεν. Οὗτος γὰρ διὰ θαυμαστῆς ὁμολογίας καὶ μαρτυρίου θεοτιμήτου, πρότυπον χριστιανοῦ νεανίου τοῖς πιστοῖς ἀνεδείχθη. Αὐτοῦ τὴν μανικὴν ἀγάπην, τὴν ζῶσαν πίστιν, καὶ τὴν θεόφιλον ὁμολογίαν μιμησώμεθα, ἵνα σὺν αὐτῷ τῆς οὐρανίου Βασιλείας καταξιωθῶμεν.

*Ἦχος δ΄.*

Αἱ τῆς Ἀρκαδίας καὶ τῆς Μονεμβασίας Ἐκκλησίαι, συναγάλλονται σήμερον τῇ ἐπουρανίῳ, ἐπὶ τῇ τοῦ Νεομάρτυρος Ἰωάννου μνήμῃ· ἡ τῆς Ἀρκαδίας μέν, ὡς ἐξ αὐτῆς τεχθέντος· ἡ τῆς Μονεμβασίας δε, ὡς ἐν ταύτῃ μαρτυρήσαντος· καὶ ἡ ἐπουράνιος τῶν Πρωτοτόκων Ἐκκλησία, ὡς ἔχουσα ἐν τῷ Παραδείσῳ αὐτῆς τὸ εὐωδέστατον τῶν Νεομαρτύρων ἄνθος· ὅθεν καὶ ἡμεῖς συνευφρανθῶμεν, τοιοῦτον πρότυπον πίστεως, ὁμολογίας καὶ θυσίας κεκτημένοι, ἅμα δὲ προστάτην καὶ πρεσβευτὴν ἀκοίμητον, πρὸς τὸν Σωτῆρα Κύριον.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε τῶν Νεομαρτύρων ἐγκωμιασταί, νοερῶς εἰς Μυστρᾶν μεταβῶμεν καὶ κατίδωμεν θαῦμα μέγα καὶ ἐξαίσιον. Ὁ ἐκ τῆς κώμης Τουρκολέκα νεανίας Ἰωάννης, μετὰ παῤῥησίας τὸν Χριστὸν ὁμολογήσας, τὴν κεφαλὴν ἀπετμήθη, διὰ δὲ τοῦ ἁγνοτάτου αὐτοῦ αἵματος, ἐπὶ τῆς γῆς ὁ τοῦ τιμίου Σταυροῦ τύπος θαυμαστῶς ἐσχηματίσθη· ὅθεν καὶ ἡμεῖς ἐν πνευματικῇ ἀνατάσει, τὰς αὐτοῦ πρεσβείαις, πρὸς τὸν φιλάνθρωπον Θεὸν αἰτησώμεθα, ὅπως καὶ ἐξ ἡμῶν ἄξιοι τοῦ Κυρίου μαθηταὶ ἀναδειχθῶσιν, καὶ τοῦ παναγίου Αὐτοῦ Ὀνόματος ὁμολογηταὶ θεόφιλοι.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν*

Χαίροις, τοῦ Τουρκολέκα βλαστός, Μονεμβασίας θεοδώρητον κόσμημα, Μαρτύρων Χριστοῦ ἡ δόξα, τῆς παῤῥησίας κανών, τῶν Νεομαρτύρων ἐγκαλλώπισμα· νεότητος καύχημα, τοῦ Μυστρᾶ μέγα κλέϊσμα, ὁμολογούντων, θαυμαστὸν ἀκροθίνιον, καὶ πανάριστον, τῆς θυσίας ἀγλάϊσμα. Πίστει τὴν θείαν μνήμην σου, τιμῶντες ἐν ᾄσμασιν, ὦ Ἰωάννη Κυρίου, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Χαίροις, σῶν γεννητόρων τιμή, τοῦ Τουρκολέκα ὁ καρπὸς ὁ πανεύγευστος, τῆς χάριτος τὸ δοχεῖον, Νεομαρτύρων φωστήρ, καὶ τῶν Ὀρθοδόξων στῦλος πίστεως· τῆς πλάνης κατίσχυσις, ἀσεβεία κατάπτωσις, τῆς ἀνομίας, ἀρνητὴς θεοδόξαστος, καὶ ἀρνήσεως, τοῦ Χριστοῦ ὁ πολέμιος. Πίστει τὸ σὸν μαρτύριον, τιμῶντες ἐν ᾄσμασιν, ὦ Ἰωάννη τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, κόσμος Μαρτύρων Χριστοῦ, ἁγνῆς νεότητος ἡ στήλη ἡ ἔμψυχος, τῆς πίστεως ὁ κοσμήτωρ, τῆς εὐλαβείας κανών, καὶ τῆς παῤῥησίας τὸ ἀγλάϊσμα· θυσίας τὸ ἄγαλμα, τῶν Μαρτύρων ὑπόδειγμα, ἀγάπῃ θείᾳ, σὴν ψυχὴν κατεκόσμησας,

καὶ οὐράνιον, πολιτείαν ἠγάπησας. Πίστει ὁμολογίαν σου, κηρύττοντες ἅπασιν, ὦ Ἰωάννη τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄*

Σήμερον, ἡ τὸν Χριστὸν ἀγαπῶσα νεότης, Ἰωάννην τὸν νεανίαν Νεομάρτυρα, τὸν τῇ θεοδωρήτῳ πίστει, ὑπερκάλλῳ ἁγνότητι, εὐλαβείᾳ ἁγιοπατερικῇ, ἀξιοθαυμάστῳ ὁμολογίᾳ καὶ θεαρέστῳ θυσίᾳ κεκοσμημένον, εὐφήμοις ᾠδαῖς ἑορτίως ἐγκωμιάζει λέγουσα· χαίροις, γνήσιε φίλε τοῦ Χριστοῦ, καὶ τῶν δυσσεβῶν Ἀγαρηνῶν πολέμιε· χαίροις, τῆς ἀρετῆς ἐραστά, καὶ τῶν Νεομαρτύρων μιμητά· ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν τὸν Θεόν, Αὐτὸν ἐκτενῶς ἱκέτευε, ὑπὲρ τοῦ διαφυλαχθῆναι ἡμᾶς, ἐκ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Μέγαν Μάρτυρα, τῆς Ἀρκαδίας, εὐφημήσωμεν, τὸν Ἰωάννην, ἀνυμνοῦντες αὐτοῦ θεῖαν ἄθλησιν· καταβαλὼν γὰρ ἀπίστων φρυάγματα, ὁμολογίᾳ Χριστοῦ στέφος εἴληφεν· ὅθεν Κύριε, λιταῖς σοῦ ἐνδόξου Μάρτυρος, χαρίτωσον πιστοὺς τοὺς προσκυνοῦντάς σε.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α᾽ Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α᾽. Τὸν συνάναρχον Λόγον.

Ἀρκαδίας τὸν γόνον, Μυστρᾶ τὸ κόσμημα, καὶ Τουρκολέκα τῆς κώμης θεοφιλῆ ἀσκητήν, Ἰωάννην ἀδελφοὶ ἀνευφημήσωμεν· ὅτι ἐτύθη ὡς ἀμνός, ἐν τοῖς ἐσχάτοις τοῖς καιροῖς, νικήσας τοὺς ἀλλοθρήσκους,

συναγείρων τοὺς Ὀρθοδόξους, τοῦ ἀνυμνεῖν τὸν ἐν Τριάδι Θεόν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς Σέ· χαῖρε, ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν Σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον Σου.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Τὸν νέον ἀθλητήν, τὸν κλεινὸν Ἰωάννην, ὑμνήσωμεν σεπτῶς, ἐν ᾠδαῖς ἐγκωμίων· Χριστὸν γὰρ ἠγάπησεν, ὡς Θεὸν πολυεύσπλαγχνον, καὶ ὑπέμεινε, τοῦ μαρτυρίου τὸ πάθος· ὅθεν ἔλαβε, παρὰ τοῦ μόνου Δεσπότου, τὸ στέφος τὸ ἄφθιτον.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Μητέρα Σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν Σὴν ἀγαθότητα· Σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγη ἀληθῶς, τῶν ὑποδούλων ἡ ψυχή, κατιδοῦσα ἐν χαρᾷ, τοῦ Νεομάρτυρος Χριστοῦ, ὁμολογίαν θυσίαν καὶ παῤῥησίαν· πίστιν ἀληθῆ, καὶ εὐλάβειαν, σχῆμα τοῦ Σταυροῦ, ἐκ τοῦ αἵματος· καὶ μαρτυροῦσα πᾶσιν ἀνεκήρυττε, τὸ μεγαλεῖον τῆς πίστεως, τοῦ Ἰωάννου, Μάρτυρος νέου, ἐκ Θεοῦ δοξασθέντος.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς Σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς Σαῖς συνέχεται, καὶ δέχεται ἀρχήν, ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι· καὶ Σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Δεῦτε ὁ τῶν φιλομαρτύρων χορός, ἐπὶ τῇ ἐν οὐρανοῖς γεννήσει, τοῦ Νεομάρτυρος Ἰωάννου, ἱεροπρεπῶς πανηγυρίσωμεν. Σήμερον, ἡ ἐπὶ γῆς στρατευομένη Ἐκκλησία, ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει τοῦ ἐκ Τουρκολέκα παιδομάρτυρος τιμᾷ τὰ γενέθλια. Σήμερον, ἡ ἐν οὐρανοῖς θριαμβεύουσα Ἐκκλησία, σὺν τῷ ἐνδόξῳ Μάρτυρι Ἰωάννῃ, γηθοσύνως τὸν Τρισυπόστατον Θεὸν προσκυνοῦσα, σὺν τοῖς Ἀγγέλοις ἀνυμνεῖ. Δεῦτε οὖν καὶ ἡμεῖς, σὺν πάσῃ τῇ τοῦ Χριστοῦ ποίμνῃ βοήσωμεν· Κύριε, πρεσβείαις τοῦ Μάρτυρός Σου, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ Κανὼν τοῦ Νεομάρτυρος, οὗ ἡ ἀκροστιχίς: *Μέλπω, Ἰωάννου Τουρκολέκα, σφαγήν. Νικοδήμου.*

*ᾨδὴ α’. Ἦχος πλ. δ’. Ὑγρὰν διοδεύσας.*

Μαρτύρων ὑμνῆσαι ἐπιποθῶν, νέον στεφανίτην, ἱκετεύω Σε παντουργέ, κατάπεμψον Πνεῦμα τοῦ σοφίσαι, τὴν ταπεινήν μου ψυχὴν καὶ διάνοιαν.

Ἐδέχθης τὴν χάριν παρὰ Χριστοῦ, κλεινὲ Ἰωάννη, μαρτυρῆσαι διὰ σφαγῆς, καὶ αἷμα τὸ σὸν ἐπισφραγίσαι, διὰ Σταυροῦ τὴν σὴν δόξαν καὶ εὔκλειαν.

Λατρεύων ἐκ πόθου τῷ Ἰησοῦ, ὡς Καλῷ Ποιμένι, ἠκολούθεις ἀπὸ παιδός· διό σοι ἐδόθη Ἰωάννη, τοῦ μαρτυρίου τὸ στέφος τὸ ἄφθαρτον

*Θεοτοκίον.*

Παράσχου μοι Μῆτερ τοῦ Ἰησοῦ, βίον τῆς ἁγνείας, καὶ εἰρήνην τοῦ Σοῦ Υἱοῦ, πρὸς δόξαν Τριάδος τῆς Ἁγίας, καὶ σωτηρίαν ψυχῆς μου πανάμωμε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὦ παιδίον Κυρίου πρὸς τὸν Χριστὸν πρέσβευε, ὑπὲρ Ἐκκλησίας καὶ πάντων, τῶν ἀνυμνούντων σε, ἵνα ἐν πίστει ὀρθῇ, τὸν τῆς ζωῆς ἡμῶν χρόνον, ἐξαγοραζόμενοι, λάβωμεν ἔλεος.

Ἰησοῦν ἀγαπήσας καὶ Ἀθλητῶν εὔκλειαν, χάριν τῶν Μαρτύρων λαμβάνεις, καὶ στέφος ἄφθαρτον, καὶ Παραδείσου τρυφήν, καὶ Ἀθλητῶν θείαν δόξαν, καὶ ζωῆς ἀπόλαυσιν, ὦ μάκαρ κρείττονος.

Ὦ πανένδοξε Μάρτυς ταῖς σαῖς λιταῖς στήριξον, μέλη Ἐκκλησίας ἐν πίστει, καὶ ἀγωνίσμασι, καὶ ἐν ἀγάπῃ Χριστοῦ, καὶ προσφορᾷ καὶ θυσίᾳ, καὶ ζωῇ τῆς χάριτος, καὶ ἁγιότητος.

*Θεοτοκίον.*

Ἀνυμνεῖν Θεοτόκε ἀντιβολῶ δώρησαι, χάριν ὑμνολόγων ἀξίως, τὰ μεγαλεῖά Σου, καὶ τοῦ Υἱοῦ Σου

ἁγνή, οἰκονομίαν τελείαν, εἰς ταὸ σώζειν ἅπαντας, ἐκ τοῦ ἀλάστορος.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἐν ὕμνοις τιμήσωμεν τὸν Ἰωάννην σεπτῶς, νεότητος κλέϊσμα, καὶ Τουρκολέκα καρπόν, Μυστρᾶ δὲ τὸ κόσμημα· οὗτος γὰρ δυσσεβούντων, ἐκφυγὼν τὰς ἐνέδρας, Λόγον καθωμολόγει, ὡς Θεὸν καὶ Σωτῆρα· λιταῖς Αὐτοῦ Θεάνθρωπε, σῶσον τὸν κόσμον σου.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Ἡ μόνη κυήσασα τὸν Ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ Τόκῳ Σου ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου Βελίαρ· στῆσόν με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων, Αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, Ὃν ἐσωμάτωσας.

*Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.*

Νεανίαν ἠξίωσε, χάρις ἡ τοῦ Πνεύματος τῆς ἀθλήσεως, Ἰωάννην τὸν πανένδοξον, καὶ τῆς Παραδείσου ἐνοικήσεως.

Νουνεχῶς τὸν Θεάνθρωπον, θεῖος Ἰωάννης καθωμολόγησε, καὶ ἐτύθη ὑπὲρ σφάγιον, ἐν Μονεμβασίᾳ ὁ θεόφιλος.

Οὐρανίων ἀπέλαβε, ἀγαθῶν καὶ δόξης καὶ ἀναπαύσεως, Ἰωάννης ὁ πανεύφημος, οὗ τὴν πίστιν πάντες μιμησώμεθα.

*Θεοτοκίον.*

Ὕμνοις θείοις δοξάζομεν, τὸ ἐν Σοὶ μυστήριον παντευλόγητε· καὶ αἰτούμεθα πανάχραντε, τὴν Σὴν μεσιτείαν καὶ τὴν χάριν Σου.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς,*

Τύραννον ἐχθρόν, Ἰωάννη κατενίκησας· περιπολεύων δὲ τοὺς οὐρανούς, Χριστὸν δυσώπει, τοῦ σῶσαι ἡμᾶς ἐκ θλίψεων

Ὄνομα Χριστοῦ, Ἰωάννη ὡμολόγησας, ἀξιωθεὶς πρεσβεύειν ὑπὲρ ἡμῶν, ὅπως ῥυσθῶμεν, παγίδων τοῦ πολεμήτορος.

Ὕψωσας τὸν νοῦν, πρὸς Χριστὸν τὸν μόνον Κύριον, καὶ πρὸς Σιὼν τὴν ἄνω Μάρτυς κλεινέ, ἥ σε ἐδέξω, ὡς σφάγιον ἱερώτατον.

*Θεοτοκίον.*

Ῥῦσαι τοὺς πιστούς, ἐκ πταισμάτων Κόρη ἄχραντε, ταῖς μητρικαῖς πρεσβείαις Σου πρὸς Χριστόν, καὶ πρὸς ἁγίαν ζωήν, ἡμᾶς καθοδήγησον.

*ᾨδὴ στ᾽. Τὴν δέησιν.*

Κραταίωσον, τῆς ψυχῆς μου φρόνημα, Ἰωάννη Νεομάρτυς λιταῖς σου· ἵνα Χριστόν, ὡς Θεὸν καὶ Δεσπότην, τοῖς ἁγνοοῦσι κηρύττω ἐν χάριτι, τηρῶν τὰς θείας ἐντολάς, μετά φόβου καὶ ζήλου ἐν βίῳ μου

Ὁδήγησον, τὴν ψυχήν μου ἔνδοξε, πρὸς Χριστὸν τὸν Ζωοδότην καὶ Κτίστην· ὅτι πιστῶς, Ἰωάννη σοὶ κλίνω, τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος γόνατα· καὶ δέομαι ἐν πειρασμοῖς· ἐκ παθῶν σαῖς λιταῖς διαφύλαξον.

Λατρεύσωμεν, τῷ Κυρίῳ ἅπαντες, ὡς ὁ Μάρτυς τῇ Αὐτοῦ ἐνισχύσει· καὶ τὸν αὐτοῦ, μιμησώμεθα βίον, τὴν προθυμίαν καὶ ζῆλον τὸν ἔνθεον, ὁμολογίαν τε Χριστοῦ, ἵνα δόξης Θεοῦ ἀπολαύσωμεν.

*Θεοτοκίον.*

Ἐβάστασας, τὸν Χριστὸν ἀγκάλαις Σου, Θεοτόκε Ἐκκλησίας ἡ δόξα, τῶν εὐσεβῶν, προστασία καὶ σκέπη, καὶ ἀσθενούντων ἀντίληψις ἕτοιμος· ἱκέτευε τὸν Σὸν Υἱόν, ἐκ παθῶν τοὺς Σοὺς δούλους λυτρώσασθαι.

*Κοντάκιον. Ἦχος δ΄. Τῇ ὑπερμάχῳ*

Τοῦ Τουρκολέκα φρυκτωρὸν καὶ ἀντιλήπτορα, καὶ Ἀρκαδίας τὸν προστάτην τὸν θεόσδοτον, εὐφημήσωμεν ἐν ὕμνοις καὶ ἐγκωμίων· τὸν Χριστὸν

γὰρ μετὰ θαῤῥους ὡμολόγησε, καὶ σφαγῇ αὐτοῦ λαὸν πιστὸν ἐστήριξε· ὅθεν **ἔλαβε, δόξαν θείαν καὶ ἄφθιτον.**

*Ὁ Οἶκος.*

Ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἐν ἀγαλλιάσει συνελθοῦσα, τὴν ἐκ τοῦ Τουρκολέκα νεανίου καὶ Νεομάρτυρος Ἰωάννου πανένδοξον μνήμην θεοφιλῶς ἐπιτελεῖ σήμερον. Οὗτος γάρ, μετὰ τοῦ πατρὸς αὐτοῦ ἐν Μονεμβασίᾳ συλληφθείς, ὑπὸ τῶν ἀθέων Ὀθωμανῶν, καὶ μετὰ τὴν τοῦ πατρὸς αὐτοῦ σφαγὴν κληθείς, ὅπως τὸν Θεάνθρωπον Χριστὸν ἀρνηθῇ, καίτοι μειράκιον, μετὰ παῤῥησίας καὶ θαῤῥους, τὸ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ σημεῖον ποιήσας, τὴν πρὸς τὸν Σωτῆρα Κύριον ἀγάπην, πίστιν καὶ ἀπόλυτον αὐτοῦ ἐμμονὴν ὡμολόγησεν. Οὕτω πρὸ τοῦ Ναοῦ τοῦ Ἑλκομένου ἐσφαγιάσθη, τὸ δὲ πάναγνον αὐτοῦ αἷμα ἐπὶ τῆς γῆς τὸν τύπον τοῦ τιμίου Σταυροῦ διέγραψε, καὶ διὰ τοῦ σημείου αὐτοῦ κατεδείχθη, ὅτι ἐν οὐρανοῖς ὁ Νεομάρτυς Ἰωάννης **ἐλαβε δόξαν θείαν καὶ ἄφθιτον.**

*Συναξάριον.*

Τῇ ΙΣΤ΄ τοῦ αὐτοῦ Μηνός, ὁ Ἅγιος Νεομάρτυς Ἰωάννης ὁ ἐκ Τουρκολέκα τῆς Ἀρκαδίας, ἐν Μονεμβασίᾳ, ἐν ἔτει 1816ῳ, ξίφει τελειοῦται.

*Ἔοικε Ἰωάννης, αὐχένα κλίνων,*

*λέγειν, Κοπείτω, Χριστὸν οὐκ ἀρνοῦμαι.*

*Ἕκτῃ καὶ δεκάτῃ Ἰωάννην τάμε χαλκός.*

*Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Καθαροὶ θεῖοι Νόες σὲ ἐδέξαντο Μάρτυς καὶ τῶν Ἁγίων χοροί· μεθ' ὧν συνεορτάζει, ὑμνῶν τὸν ἐν Τριάδι, Ὁμοούσιον Κύριον· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀληθῶς Ἰωάννη Θεανθρώπου τὴν πίστιν ὁμολογεῖς εὐθαρσῶς, καλῶν τοὺς Ὀρθοδόξους, συμψάλλειν ὁμοφρόνως, καὶ βοᾶν πρὸς τὸν Κύριον· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σθεναρῶς Ἰωάννη ἐναθλῶν ἐν σταδίῳ ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, ἀγείρεις Ἐκκλησίαν, γεραίρειν τὸν Σωτῆρα, καὶ συμψάλλειν ἐν χάριτι· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Φωτισμὸν καταπέμπει τοῖς βροτοῖς Θεοτόκε ὁ Σὸς Υἱὸς καὶ Θεός, πρεσβείαις Σου ἀπαύστοις, πρὸς Ὃν πανευγνωμόνως, ἐν ᾠδαῖς πάντες ψάλλομεν· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η’. Τὸν Βασιλέα.*

Ἁγίων τάξεις, τὸν Ἰωάννην τιμῶσιν, σὺν αὐταῖς καθορῶντες ἐνδόξως, καὶ Χριστὸν ὑμνοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Γεραίρει πᾶσα, ἡ Ἐκκλησία τὸν παῖδα, μιμηθέντα Μαρτύρων τὰ πάθη, καὶ δοξάζει Λόγον, εἰς πάντας τοὺς αἰῶνας.

Ἡγιασμένον, τὸν Ἰωάννην ἐδέχθη, ὁ Χριστὸς ἐν παστάδι ἁγίᾳ, ἀνυμνολογοῦντα, Αὐτὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ναὸς Κυρίου, παναληθὴς ἀνεδείχθης, Θεοτόκε ὡς τέξασα Λόγον, Ὃν σὺν Ἀσωμάτοις, ὑμνεῖς εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ’. Κυρίως Θεοτόκον.*

Νενίκηκας τὸν πλάνον, τῇ ὁμολογίᾳ, καὶ τῇ θυσίᾳ σου Μάρτυς, δοξάζων Θεόν· διὸ ἐστέφθης ἀξίως, ἐν θείοις δώμασιν.

Ἰσχύϊ τοῦ Κυρίου, Μάρτυς Ἰωάννη, Ὀθωμανοὺς ἐταπείνους, τυθεὶς ἐν χαρᾷ, κατακυρῶν ἐν σημείῳ, Χριστοῦ ἀλήθειαν.

Κηρύττομεν ἐμφρόνως, Μάρτυρος Κυρίου, ὁμολογίαν θυσίαν καὶ πάθος σεπτόν, καὶ εὐφημοῦμεν ἐνθέως, αὐτοῦ τελείωσιν.

*Θεοτοκίον.*

Ὁμοῦ σὺν τῷ Υἱῷ Σου, ἁγνή Σε τιμῶμεν, τῷ γεννηθέντι ἀφράστως ἐκ Σοῦ ἀληθῶς, πρὸς σωτηρίαν τοῦ κόσμου, καὶ ἀπολύτρωσιν.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Τὸν Μάρτυρα τιμήσωμεν, ἐν ὕμνοις ὢ φιλέορτοι, τὸν Ἰωάννην τὸν νέον, τοῦ Τουρκολέκα τὸν γόνον. Οὗτος γὰρ τὴν δυσσέβειαν, Ἀγαρηνῶν κατήσχυνε, καὶ τὸν Χριστὸν ἐκήρυξε, Θεὸν καὶ μόνον Δεσπότην, καὶ Λυτρωτὴν τῶν ἀνθρώπων.

*Θεοτοκίον.*

Μαρίαν τὴν Θεόνυμφον, τὴν τέξασα τὸν Κύριον, πάντες ἐκ πόθου τιμῶμεν· ζωῆς γὰρ γέγονε Μήτηρ. Τράπεζα ἄρτον φέρουσα, λυχνία ἡ φωτίζουσα, σκέπη δὲ κατασκέπουσα, πιστῶν Χριστοῦ τὰς καρδίας, ὑπάρχει ἡ Θεοτόκος.

*Αἶνοι. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι*

Μάρτυρα τῆς πίστεως, τὸν Ἰωάννην τιμῶμεν, ἐν ψαλμοῖς καὶ ᾄσμασι, τῶν Ἀρκάδων σύλλογος ὁ φιλόθεος· τῷ Χριστῷ ἔθυσεν, ἐν Μυστρᾷ ἐμφρόνως, τὴν ζωὴν εἰ καὶ μειράκιον, καὶ πάντας ἤγειρε, πρὸς δοξολογίαν τοῦ Κτίσαντος· διὸ καὶ εἰσελήλυθεν, εἰς σκηνὰς Μαρτύρων ὁ ἔνθεος· ἔνθα ἱκετεύει, τὸν Κύριον

λυτρώσασθαι ἡμᾶς, τοὺς τὴν σεπτὴν αὐτοῦ ἄθλησιν, πόθῳ ἑορτάζοντας. *(Δίς)*

Νέων ἐγκαλλώπισμα, τοῦ Τουρκολέκα τὸν γόνον, Ἀρκαδίας καύχημα, ἐν ᾠδαῖς ὑμνήσωμεν καὶ δοξάσωμεν· ἐν χαρᾷ ἤθλησεν, ὑπὲρ τοῦ Κυρίου, κεφαλὴν τμηθεὶς ὁ ἔνδοξος, ὡς θεῖον σφάγιον, ὥσπερ Ἰωάννης ὁ Πρόδρομος· διὸ καὶ ὁ Θεάνθρωπος, νέον Ἰωάννην κατέστεψεν· ἵνα αἰωνίως, συγχαίρῃ τοῖς Ἁγίοις τοῦ Θεοῦ, ἐν οὐρανίοις σκηνώμασιν, ὡς Μάρτυς καλλίνικος.

Μάρτυρα θεόφρονα, γόνον λαμπρὸν Τουρκολέκα, καὶ Μυστρᾶ τὸ κλέϊσμα, ἐγκωμίων ἄνθεσι μεγαλύνωμεν· τὸν Χριστὸν φέρων γάρ, σταθερῶς ἐν στέρνοις, θείαν πίστιν τὴν ἀκήρατον, λαμπρῶς ἐτράνωσε, καὶ μαρτυρικῶς κατεκύρωσε· διὸ καὶ εἰσελήλυθεν, εἰς τὰ ἐπουράνια δώματα, κλεινὸς Ἰωάννης, τῷ θρόνῳ δὲ παρίσταται Θεοῦ, ἀδιαλείπτως δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸν τοῦ Χριστοῦ καλλίνικον Μάρτυρα Ἰωάννην, δεῦτε φιλάγιοι ἀδελφοί, ἐν ᾠδαῖς καὶ ὕμνοις, ἐγκωμιάσωμεν λέγοντες· Χαίροις, ὁ τὸν Θεάνθρωπον ὁλοψύχως ἀγαπήσας, καὶ ὑπὲρ Αὐτοῦ τὴν κεφαλὴν ἀποτμηθείς· χαίροις, ὁ τὴν Χριστοῦ σωτήριον πίστιν, ἐν παῤῥησίᾳ ὁμολογήσας, καὶ διὰ τοῦ αἵματός σου, ἐν δυσχειμέροις χρόνοις, ταύτην στηρίξας· χαίροις, τῆς

νεότητος τὸ ἐντρύφημα, καὶ τῶν ἀθέων καὶ δυσσεβῶν τὸ ἥττημα. Πρέσβευε δεόμεθα, Νεομάρτυς Ἰωάννη, ὑπὲρ τῶν τιμώντων τὴν πανσέβαστον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Δεῦτε Νεομάρτυρα τοῦ Χριστοῦ, νεότητος κλέος, μαρτυρήσαντα ἐν Μυστρᾷ, τιμήσωμεν ὕμνοις, τὸν νέον Ἰωάννην, κηρύττοντες ἐμφρόνως, αὐτοῦ τὴν ἄθλησιν.

